(ΜΟ.) ]. . ντο εἰ καὶ δι.[
.]γω μελετήσας ων τ.[
Ὡς ἐγενόμην γὰρ ἐκτο[
ἔθυον, ἐπὶ τὸ δεῖπνον[
ἐπὶ λούτρ' ἔπεμπον τὰς γ[υναῖκας -᷅-
τὴν σησαμῆν διένεμον, η.[
Ὑμέναιον ἐτερέτιζον· ἦν ἀβέλτ[ε]ρο[ς.
Ὡς δ' οὖν ἐνεπλήσθην — : ἀλλ', Ἄπολλον, οὑτοσὶ
ὁ π]ατήρ· ἀκήκο' ἆρα; Χαῖρέ μοι, πάτερ.

(ΔΗ.) Ν]ὴ καὶ σύ γ', ὦ παῖ. :
(ΜΟ.) Τί σκυθρωπάζεις; :
(ΔΗ.) Τί γάρ;
Γ]αμετὴν ἑταίραν, ὡς ἔοικ', ἐλάνθανον
ἔχ]ων. :
(ΜΟ.) Γαμετήν; Πῶς; ἀγνοῶ ⟨γὰρ⟩ τὸν λόγον. :
(ΔΗ.) Λάθ]ριό[ς τι]ς ὑ⟨ός⟩, ὡς ἔοικε, γέγονέ μοι·
ἀλλ'] ἐς [κόρ]ακας ἄπεισιν ἐκ τῆς οἰκίας
. . . . . . . . .]υσα. :
(ΜΟ.) Μηδαμῶς. :
(ΔΗ.) Πῶς μηδαμῶς;
Νόθον με θ]ρέψειν ἔνδον ὑὸν προσδοκᾷς;

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416158285/17 UNIVERSITÄT LEIPZIG